eul_wid: kog-ac

*Εὐφορίων ὁ Χαλκιδεύς* · Euphorion of Chalcis

# Epigrams

## *Ἐπιγράμματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

book 279.1.1 Πρώτας ὁππότ' ἔπεξε καλὰς Εὔδοξος ἐθείρας,
book 279.1.2 Φοίβῳ παιδείην ὤπασεν ἀγλαΐην.
book 279.1.3 ἀντὶ δέ οἱ πλοκαμῖδος, Ἑκηβόλε, κάλλος ἐπείη
book 279.1.4 ὠχαρνῆθεν ἀεὶ κισσὸς ἀεξόμενος.
book 651.1.1 Οὐχ ὁ τρηχὺς ἔλαιος ἐπ' ὀστέα κεῖνα καλύπτει
book 651.1.2 οὐδ' ἡ κυάνεον γράμμα λαβοῦσα πέτρη·
book 651.1.3 ἀλλὰ τὰ μὲν Δολίχης τε καὶ αἰπεινῆς Δρακάνοιο
book 651.1.4 Ἰκάριον ῥήσσει κῦμα περὶ κροκάλαις·
book 651.5 ἀντὶ δ' ἐγὼ ξενίης Πολυμήδεος ἡ κεινὴ χθὼν
book 651 ὠγκώθην Δρυόπων διψάσιν ἐν βοτάναις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org